μαίνει τὸ χθόνιον αὐτοῦ φρόνημα· ὁ δὲ Σίσυφος κατὰ τὸ φιλότιμον καὶ θυμοειδὲς ζήσας ἐκύλιε τὸν λίθον καὶ πάλιν κατέφερεν, ἐπειδὴ περὶ αὐτὰ καταρρεῖ ὁ κακῶς πολιτευόμενος· λίθον δὲ ἐκύλιε διὰ τὸ σκληρὸν καὶ ἀντίτυπον τῆς αὐτοῦ ζωῆς· τὸν δὲ Τάνταλον ἴδεν ἐν λίμναις καὶ ὅτι ἐν δένδροις ἦσαν ὀπῶραι καὶ ἤθελε τρυγᾶν καὶ ἀφανεῖς ἐγίνοντο αἱ ὀπῶραι· τοῦτο δὲ σημαίνει τὴν κατὰ φαντασίαν ζωήν· αὕτη δὲ σημαίνει τὸ ὀλισθηρὸν καὶ δίυγρον καὶ θᾶττον ἀποπαυόμε-
2 νον. λέγει δέ, ὅτι ὁ Ῥαδάμανθυς ἐκεῖ κρίνει τὸν μέγαν βασιλέα· μέγας δὲ βασιλεύς ἐστιν ὁ τῶν Περσῶν· ἐπειδὴ εἶπεν τὸν Ῥαδάμονθυν τοὺς τῆς Ἀσίας κρίνειν, ὁ δὲ Περσῶν βασιλεὺς ἐκράτει τῆς Ἀσίας· ἐπειδὴ δὲ ἠπόρησέ τις ποτέ, ὅτι διὰ ποίαν αἰτίαν τὸν Ῥαδάμανθυν καὶ τὸν Μίνωα τῆς Ἀσίας λέγει κριτάς, καίτοι ὁ μὲν Λίβυς ἦν, ὁ δὲ Κρῆς, εἰπέ· ὅτι ἐπειδὴ κατὰ τοὺς γεωγράφους τοὺς διαιροῦντας εἰς δύο τὴν καθ' ἡμᾶς οἰκουμένην εἰς Ἀσίαν καὶ Εὐρώπην, καὶ ἡ Λυβύη καὶ ἡ Κρήτη τῆς Ἀσίας εὑρίσκετο. δεῖ τοίνυν εἰδέναι, ὅτι αἱ μὲν μέτρια ἡμαρτηκυῖαι ψυχαὶ ἐπ' ὀλίγον χρόνον κρίνονται, καὶ λοιπὸν καθαιρόμεναι ἀνάγονται· ὅτ' ἂν δὲ λέγω ἀνάγονται, οὐ τοπικῶς, ἀλλὰ διὰ τῆς ζωῆς· καὶ γὰρ ὁ Πλωτῖνός φησιν· ὅτι ἀνάγεται δὲ ἡ ψυχὴ οὐ ποδὶ ἀλλὰ ζωῇ· αἱ δὲ μέγιστα ἁμαρτήσασαι εὐθὺς εἰς τὸν Τάρταρον πέμπονται ἀντὶ τοῦ θᾶττον· τὸ δὲ εὐθὺς εἶπεν, ἐπειδὴ ἡ εὐθεῖα ἐλαχίστη ἐστὶν τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν καὶ ἀεὶ αὗται κρίνονται μηδέποτε καθαιρόμεναι. καὶ ἄξιον ἀπορῆσαι διὰ τί λέγει ἀεί· τί οὖν; οὐδέποτε λῆξις γίνεται τῆς κολάσεως· δεῖ γὰρ εἰδέναι, ὅτι δεῖ μὲν δι' ἀλγύνσεως ἡμᾶς ἐπιστραφῆναι, ἐπειδὴ διὰ γλυκυθυμίας γεγόνασι τὰ πάθη, τὰ δὲ ἐναντία τῶν ἐναντίων ἰάματα, πλὴν μέντοι οὐκ ἀεὶ κολαζόμεθα· κρεῖττον γὰρ λέγειν φθαρτὴν τὴν ψυχὴν ἢ τοῦτο πρεσβεύειν· εἰ γὰρ ἀεὶ κολάζεται ἡ ψυχὴ καὶ οὐδέποτε ἀγαθοῦ ἀπολαύει, ἀεὶ ἐν κακίᾳ ἐστίν· ἄλλως τε καὶ ἡ κόλασις πρός τι ἀγαθὸν βλέπει· οὐ δεῖ οὖν

---

20 Plotin. IV 3

---

12 mg. ἀπορία 14 mg. λύσις 20 mg. ση. τὸν τοῦ θαυμασίου Πλωτίνου λόγον 25 mg. ἀπορία